Ακαδημία Αθηνών / Academy of Athens

*μεταπίπτειν*). 'Εναλλάσσομαι, alternate, 'Εμπεδοκλῆς 17.12 *ᾗ δὲ διαλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει* 35.15 *ζωρά τε τὰ πρὶν ἄκρητα διαλλάξαντα κελεύθους*. || **διαλλάσσεσθαι.** Συνδιαλλάσσομαι/συμφιλιώνομαι, be reconciled, 'Αρχύτας 3.10 *στάσιν μὲν ἔπαυσεν, ὁμόνοιαν δὲ αὔξησεν λογισμὸς εὑρεθεὶς ... τούτῳ γὰρ* (sc. *τῷ λογισμῷ*) *περὶ τῶν συναλλαγμάτων διαλλασσόμεθα.*

**διαλογίζεσθαι.** Διαλογίζομαι/στοχάζομαι, consider/meditate, Δημόκριτος 112 *θείου νοῦ τὸ ἀεί τι διαλογίζεσθαι καλόν.* Πρβλ. *διανοεῖσθαι, μητίειν, νοεῖν, σκέπτεσθαι.*

**διάλυσις.** Διάλυση, dissolution, Δημόκριτος 297.2 *ἔνιοι θνητῆς φύσεως διάλυσιν οὐκ εἰδότες ἄνθρωποι.*

**διαμείβειν** (συνών. *ἀλλάσσειν, διαλλάσσειν*). 'Εναλλάσσω, interchange, Παρμενίδης 8.41 *γίγνεσθαί τε καὶ ὄλλυσθαι, εἶναί τε καὶ οὐχί, καὶ τόπον ἀλλάσσειν διά τε χρόα φανὸν ἀμείβειν* 'Εμπεδοκλῆς 21.14 *αὐτὰ γάρ ἔστιν ταῦτα, δι' ἀλλήλων δὲ θέοντα γίγνεται ἀλλοιωπά· τόσον διὰ κρῆσις ἀμείβει.*

**διαμένειν** (τύπ. *διαμίμνειν*, ἀντίθ. *σκίδνασθαι*). Παραμένω, remain, Δημόκριτος 100 *ὅτεῳ μὴ διαμένουσιν ἐπὶ πολλὸν οἱ πειραθέντες φίλοι, δύστροπος* Α 135 (55) (DK II 116,12) διὰ πλείστου τε κενοῦ διέρχεται (sc. ἀήρ) καὶ ἥκιστα *διαμίμνει.*

**διάμορφος.** 'Αλλόμορφος, of different form, 'Εμπεδοκλῆς 21.7 *ἐν δὲ Κότῳ διάμορφα καὶ ἄνδιχα πάντα πέλονται.*

**διαμπερὲς 1** (συνών. *ἠνεκές, ἠνεκέως*). Διαρκῶς, continuously, 'Εμπεδοκλῆς 17.6, 17.12, 26.11 *καὶ ταῦτ' ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει* **2** (συνών. *διαμπερέως*). Πέρα γιὰ πέρα, all the way, 'Εμπεδοκλῆς 17.31 *εἴτε γὰρ ἐφθείροντο διαμπερές, οὐκέτ' ἂν ἦσαν* 100.4 *ῥινῶν ἔσχατα τέρθρα διαμπερές.*

**διανοεῖσθαι.** Νομίζω, believe/think, Δημόκριτος 155.2 *εἰ κῶνος τέμνοιτο παρὰ τὴν βάσιν ἐπιπέδῳ, τί χρὴ διανοεῖσθαι*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*τὰς τῶν τμημάτων ἐπιφανείας, ἴσας ἢ ἀνίσους γιγνομένας;* Πρβλ. *διαλογίζεσθαι, μητίειν, σκέπτεσθαι.*

**διάνοια.** Σκέψη/νοῦς, thought/mind, Δημόκριτος 191.9 *τῶν μὲν ζηλουμένων καὶ θαυμαζομένων ὀλίγην μνήμην ἔχοντα καὶ τῇ δ ι α ν ο ί ᾳ μὴ προσεδρεύοντα.* Πρβλ. *νόησις, νοῦς.*

**διαπέτεσθαι.** Ξεπετιέμαι καὶ σκορπίζομαι, fly off and be scattered, Ἐμπεδοκλῆς 17.5 *ἡ δὲ πάλιν διαφυομένων θρεφθεῖσα δ ι έ π τ η.*

**διαπρεπής.** Περιφανὴς/ξεχωριστός, notable/outstanding, Δημόκριτος 195 *εἴδωλα ἐσθῆτι καὶ κόσμῳ δ ι α π ρ ε π έ α πρὸς θεωρίην, ἀλλὰ καρδίης κενεά.*

**διασκιδνάναι.** Διασκορπίζω, disperse, Ἐμπεδοκλῆς 84.4 *ἄψας παντοίων ἀνέμων λαμπτῆρας ἀμοργούς, οἵ τ' ἀνέμων μὲν πνεῦμα δ ι α σ κ ι δ ν ᾶ σ ι ν ἀέντων.* Πρβλ. *σκιδνάναι.*

**διασπᾶν.** Διασπῶ/ξεσχίζω, split/tear, Δημόκριτος 159.6 *τὰ μὲν ἀπώλεσε τοῦ σώματος ταῖς ἀμελείαις καὶ ἐξέλυσε ταῖς μέθαις, τὰ δὲ κατέφθειρε καὶ δ ι έ σ π α σ ε ταῖς φιληδονίαις.* || **διασπᾶσθαι.** Διασπῶμαι/διαχωρίζομαι, be separated, Ἐμπεδοκλῆς 63 *ἀλλὰ δ ι έ σ π α σ τ α ι μελέων φύσις· ἡ μὲν ἀνδρός.* Πρβλ. *διαιρεῖν, διατέμνεσθαι.*

**διάστημα 1.** Διάστημα (μουσικό), interval (musical), Ἀρχύτας 2.7-10-15 *καὶ ἐν ταῦτᾳ <τᾷ> ἀναλογίᾳ συμπίπτει ἦμεν τὸ τῶν μειζόνων ὅρων δ ι ά σ τ η μ α μεῖον, τὸ δὲ τῶν μειόνων μεῖζον . . . τούτων δ' οἱ μείζονες ἴσον ποιοῦνται τὸ δ ι ά σ τ η μ α καὶ οἱ μείους . . . γίνεται δ' ἐν ταύτᾳ τᾷ ἀναλογίᾳ τὸ τῶν μειζόνων ὅρων δ ι ά σ τ η μ α μεῖζον, τὸ δὲ τῶν μειόνων μεῖον* **2.** Ἀπόσταση/διαφορά, distance/difference, Δημόκριτος 191.5 *αἱ δ' ἐκ μεγάλων δ ι α σ τ η μ ά τ ω ν κινούμεναι τῶν ψυχέων οὔτε εὐσταθέες εἰσὶν οὔτε εὔθυμοι.*

**διαταγή** (συνών. *τάξις, διαθιγή*). Τάξη/διάταξη, order/arrangement, Δημόκριτος Α 125 (DK II 112,30) τὰ μὲν γὰρ στοιχεῖα

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ